UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Orioni Monacho. 45.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

περιφανοῦς ἐξ ἀδόξου καὶ ἀφανοῦς γεγενημένου. οὐχὶ προὔδωκε τὸν τοσούτων αὐτῷ αἴτιον γεγενημένον ἀγαθῶν. τὸ γὰρ ἀτίθασον ἐκεῖνο θηρίον. οὕτω γὰρ καλεῖν θέμις τοὺς μηδὲ ταῖς εὐεργεσίαις ἀμείνους γινομένους τῆς τοῦ σωτῆρος ὑπερεμπλησθὲν ἀνεξικακίας. κατ᾽ αὐτοῦ τὸν κόρον ἤνεγκε. ταύταις τοιγαροῦν ταῖς ἐπῳδαῖς πραΰνειν πειρῶ. καὶ τιθασεύειν τὸ πῦρ τῆς ὀργῆς. εἴκει γὰρ τοῖς ταῦτα κατεπᾴδουσιν.

Ὠρίωνι μονάζοντι. με.

Κανόνα σε φιλίας εὐθύτατον λέγων τις οὐκ ἂν διαμάρτοι τῆς ἀληθείας. ἁπλοῦς γὰρ εἶ τὴν γλῶτταν, ἁπλούστερος δὲ τὴν γνώμην, ἁπλούστατος δὲ τὸν βίον.

Λαμπετίῳ ἐπισκόπῳ. μϛ.

Τὴν ἀκρασίαν τῶν γονέων κολάζων ὁ νομοθέτης, ὦ σοφώτατε. πολλοὶ γὰρ καθαιρομέναις ἔπι ταῖς γυναιξὶν ὁμιλοῦσιν, ἡδονῆς μόνης, ἀλλ᾽ οὐ παιδοποιΐας ἕνεκεν, νομίζοντες πεπλάσθαι τὴν γυναῖκα, ἱερῶν περιβόλων ἀπεῖρξε τοὺς ἐκ συνουσιῶν οὐ καθαρῶν τικτομένους, ἵν᾽ εἰ μὴ ἑκόντες, ἄκοντες γοῦν σωφρονεῖν, καὶ σεμνῶς βιοῦν ἑαυτοὺς ἀναγκάσωσιν, ὡς τῆς τιμωρίας εἰς τοὺς ἐξ αὐτῶν τεχθησομένους βαδιουμένης. τί γὰρ ἂν γένοιτο τοῖς τοκεῦσιν ἀλγεινότερον τοῦ τοὺς παῖδας, οὓς εὔχονται εὐδοκιμωτέρους καὶ λαμπροτέρους ἑαυτῶν ἰδεῖν, θεάσασθαι μήτε κοινῶν, μήτε ἱερῶν συνόδων μετέχοντας. ταύτην μὲν οὖν ἀναγκαίαν αὐτοῖς καὶ παρὰ πόδας ἐπήγαγε τὴν δίκην, ἵνα φόβῳ τῆς τιμωρίας, τὴν ἀκολασίαν κολάζουσι. τὰ γὰρ ἐξ ἀκαθάρτου αἵματος πλαττόμενα σώματα, ταῖς τοιαύταις νόσοις εὐάλωτα. πολλοὶ δὲ καὶ ἄλλην κἀνταῦθα δεδώκασι δίκην· οἱ μὲν σαφῶς, οἱ δὲ λεληθότως, κἀκεῖ δὲ πάντως δώσουσιν. οὐ γὰρ ἂν τοὺς ἐξ αὐτῶν φύντας ἀτιμάζοις, διὰ τὴν τῶν γονέων

poteſtatem acceperat, & ex obſcuro atque ignobili tam clarus & illuſtris extiterat? An non eum, qui tot bonorum ipſi cauſam præbuerat, prodidit? Effera enim illa bellua (ſic enim eos appellare fas eſt, qui ne beneficiis quidem meliores reddũtur) Saluatoris lenitate ac patientia ſaturata, aduerſus eum petulanter impetum fecit. His igitur velut incãtationibus iracũdiæ ignẽ lenire ac mitigare ſtude: iis enim, qui hæc accinunt, cedit.

Orioni Monacho. 45.

Rectiſſimã amicitiæ normã, ſi quiſpiã te eſſe dixerit, à vero haudquaquam aberrat. Lingua enim ſimplex es, animo ſimplicior, vita & moribus ſimpliciſſimus.

Lampetio Epiſcopo. 46.

Parentum intemperantiam & laſciuiam coërcens Legiſlator (multi enim cum mulieribus nondum purgatis congrediuntur, perinde atque voluptatis tantùm, ac non procreandæ ſobolis cauſa effictam fuiſſe mulierem exiſtiment) eos, qui in impuro concubitu gignũtur, templi aditu prohibuit: vt, ſi non ſponte, ac certè inuiti & coacti temperantes ſe præberent, ac ſibi ipſis honeſtè caſtéque viuendi neceſſitatem imponerent: quod alioqui pœna ad eos, quos in lucem edituri eſſent, graſſaretur. Quid enim parentibus grauius & acerbius accidere queat, quàm vt filios ſuos, quos etiam ſeipſis clariores & illuſtriores videre votis omnibus exoptant, ea conditione eſſe conſpiciant, vt nec ad communes ac prophanos, nec ad ſacros conuentus admittantur? Hanc igitur ipſis neceſſariam è veſtigio pœnam intulit: vt pœnæ metu libidinoſam intemperantiam coërcerent. Nam corpora ea, quæ ex impuro ſanguine finguntur, huiuſmodi morbis obnoxia ſunt. Quin multi aliam quoque etiam in hac vita pœnam, partim apertè, partim occultè luunt: atque itẽ in futura prorſus luent. Neque enim his, qui eos etiam, qui ex ipſis orti ſunt, ob paren-